δεύεται. γελοίως οὖν χαίρειν εἶπεν. ἤδη γὰρ ἀπέθανε. βραχυπαραληκτεῖ δὲ ἐνταῦθα. Διαδρασιπολίτας.] ἀντὶ τοῦ δειλούς, ἀποδιδράσκοντας τὴν πολιτείαν. Κοβάλους.] ἐκ παραλλήλου κοβάλους καὶ πανούργους. Επι-

A ταβοείους.] ἀντὶ τοῦ μεγάλους. ἀπὸ μεταφορᾶς τῆς ἀσπίδος Αἴαντος. Κρανοποιῶν.] κράνη καὶ λόφους διηγούμενος ἀφανιεῖ με τῷ πατάγῳ τῶν ὀνομάτων.

Ευ. Καὶ σὺ τί δὴ δράσας, αὐτοὺς οὕτως ἀνδρείους ἐδίδαξας;

Δι. Αἰσχύλε λέξον, μηδ' αὐθαδῶς σεμνυνόμενος χαλέπαινε.

B Αἰ. Δρᾶμα ποιήσας Ἄρεως μεστόν. Εὐ. ποῖον; Αἰ. τοὺς ἑπτ' ἐπὶ Θήβας

Ὃ θεασάμενος πᾶς ἄν τις ἀνὴρ, ἠράσθη δάϊος εἶναι.

Δι. Τουτὶ μέν σοι κακὸν εἴργασται. Θηβαίους γὰρ πεποίηκας

Ἀνδρειοτέρους εἰς τὸν πόλεμον. καὶ τούτου γ' οὕνεκα τύπτου.

C Αἰ. Ἀλλ' ὑμῖν αὔτ' ἐξῆν ἀσκεῖν, ἀλλ' οὐκ ἐπὶ τοῦτ' ἐτράπεσθε.

Εἶτα διδάξας τοὺς Πέρσας, μετὰ τοῦτ' ἐπιθυμεῖν ἐδίδαξα

Νικᾶν ἀεὶ τοὺς ἀντιπάλους, κοσμήσας ἔργον ἄριστον.

Δι. Ἐχάρην γοῦν ἡνίκ' ἤκουσα περὶ Δαρείου τεθνεῶτος.

D Ὁ χορὸς δ' εὐθὺς τὼ χεῖρ' ὡδὶ ξυγκρούσας, εἶπεν, ἰαυοῖ.

Αἰ. Ταῦτα γὰρ ἄνδρας χρὴ ποιητὰς ἀσκεῖν. σκέψαι γὰρ ἀπ' ἀρχῆς

Ὡς ὠφέλιμοι τῶν ποιητῶν οἱ γενναῖοι γεγένηνται;

Ὀρφεὺς μὲν γὰρ τελετάς θ' ἡμῖν κατέδειξε, φόνων τ' ἀπέχεσθαι;

E Μουσαῖος δ' ἐξακέσεις τε νόσων, καὶ χρησμούς. Ἡσίοδος δὲ

*Me attriuerit. EV. at tu quo pacto ipsos tam fortes potuisti*

*Efficere?* BA. *Æschyle dic: & grauitate tua ne difficilis sis.*

ÆS. *Cùm plenum Martis opus fecissem.* EV. *quódnam.* ÆS. *septem ad Thebas.*

*Nam quisquis spectator fuerat, optabat belligerari.*

EV. *Sanè hoc abs te malè factum est, nam Thebanos hac ratione*

*Fecisti alacriores ad pugnam: ideoq́ hîc vapula, homo audax.*

ÆS. *Atqui hæc tractare eadem licuit vobis: sed vos aliorsum*

*Vertistis animum. Sed & exhibitis Persis, magna cupido*

*Hostem superandi animis iniecta est; me pulcrum opus operante.*

BA. *Ego certè lætatus sum, vbi Darium audiui occubuisse,*

*Et Chorus etiam manibus complosis exclamauit, Iópæ.*

ÆS. *Quippe Poëtas isthæc tractare decet: atque age, vide sis, quàm*

*Magno emolumento fuerint generosi omni tempore vates.*

*Equidem Orpheus ritus me docuit, & cædibus abstinuisse,*

*Musæus remedia morborum atque oracula prodidit: agri*

Σχόλια. Τοὺς ἑπτ' ἐπὶ Θήβας.] οἱ Πέρσαι πρότερον δεδιδαγμένοι εἰσὶν, εἶτα οἱ ἑπτὰ ἐπὶ Θήβας. νῦν δὲ τὸ ὕστερον προτέρως εἶπε. πλὴν οὐδὲ τῷ ποιητῇ ἐγκλητέον. οὐ γάρ ἐστιν ἀκρίβωσις τὸ τοιοῦτον, οὐδὲ τοῖς ἀπελέγχουσιν αὐτόν. Θηβαίους γὰρ πεποίηκας.] δῆλον ὡς οὐ φίλων ὄντων τοῖς Ἀθηναίοις τῶν Θηβαίων, ἀλλὰ διαφερομένων. Ἀλλ' ὑμῖν αὔτ' ἐξῆν.] ὑμῖν ἐξῆν Ἀθηναίοις, μιμήσασθαι, καὶ ἀσκεῖν τὰ πολεμικά.

F BISETVS. Αὔτ' ἐξῆν] αὐτὰ τὰ πολεμικὰ ἀσκεῖν ἐξῆν.

Σχόλια. Οὐκ ἐπὶ τοῦτο.] ἀλλ' εἰς ἐγκλήσεις καὶ δικορραφίας. κατηγορεῖ δὲ Ἀθηναίων ἐντεῦθεν. Τοὺς Πέρσας.] Αἰσχύλου δρᾶμα οὕτω καλούμενον. τὸ δὲ εἶτα, καὶ τὸ μετὰ τοῦτο, οὐ θέλουσι ἀκούειν πρὸς τὰς διδασκαλίας. ἀλλ' ἐν ἴσῳ τῷ κατὰ τοῦτο ἐδίδαξα καὶ τὸ ἕτερον. Ἐχάρην γοῦν ἡνίκ' ἤκουσα] ἐν τοῖς φερομένοις Αἰσχύλου

G Πέρσαις, οὔτε Δαρείου θάνατος ἀπαγγέλλεται, οὔτε ὁ χορὸς τὰς χεῖρας συγκρούσας λέγει ἰαυοῖ. ὅ ἐστιν ἐπιφώνημα πρὸς τὸν Διόνυσον λεγόμενον χαρᾶς ἐπελθούσης. ἀλλὰ τὰ μὲν πράγματα ὑπόκειται ἐν Σούσοις. καὶ περίφοβός ἐστιν ἡ μήτηρ Ξέρξου ἐξ ὀνείρου τινός. χορὸς δὲ Περσῶν γερόντων διαλεγόμενος πρὸς αὐτήν. εἶτα ἄγγελος ἀπαγγέλλων τὴν περὶ Σαλαμῖνα ναυμαχίαν καὶ τὴν Ξέρξου φυγήν. Χαίρεις δέ φησι τὸ Δαρείου, ἀντὶ τοῦ Ξέρξου. σύνηθες γὰρ τοῖς ποιηταῖς ἐπὶ τῶν υἱῶν τοῖς τῶν πατέρων ὀνόμασι χρῆσθαι. πρὸς ὃν ἐστιν εἰπεῖν, ὅτι ἐν τῷ δράματι λέγεται, Ξέρξης μὲν αὐτὸς ζῆ τε καὶ βλέπει φάος. Ηρόδικος δέ φησι διττοὺς γεγονέναι τοὺς θανάτους. καὶ τὴν τραγῳδίαν ταύτην περιέχειν τὴν ἐν Πλαταιαῖς μάχην. δοκοῦσι δὲ οὗτοι οἱ Πέρσαι, ὑπὸ τοῦ Αἰσχύλου δεδιδάχθαι ἐν Συρακούσαις, σπουδάσαντος Ἱέρωνος, ὥς φησιν Ερατοσθένης ἐν γ. περὶ κωμῳδιῶν. ἄλλως. Δίδυμος ὅτι οὐ περιέχουσι θάνατον Δαρείου οἱ Πέρσαι τὸ δρᾶμα. διό τινες, διττὰς θέσεις, τουτέστι διδασκαλίας τῶν Περσῶν φασι. καὶ τὴν μίαν μὴ φέρεσθαι. τινὲς δὲ γράφουσι Δαρείου τοῦ Ξέρξου. οἱ δὲ ὅτι τοῖς κυρίοις, ἀντὶ πατρωνυμικῶν κέχρηται. καὶ ὅτι ὁ Ξέρξης. οἱ δὲ, ὅτι εἴδωλον Δαρείου φθέγγεται, ἐκεῖ τεθνηκότος δηλονότι. Ὀρφεὺς γὰρ τελετάς θ' ἡμῖν.] ὅτι πολλὴ δόξα κατεῖχε περὶ Ὀρφέως, ὡς τελετὰς συντετάχοι. Μουσαῖος δὲ] τὸν Μουσαῖον παῖδα Σελήνης καὶ Εὐμόλπου Φιλόχορός φησιν. οὗτος δὲ παραλύσεις καὶ τελετὰς καὶ καθαρμοὺς συντέθεικεν. ὁ δὲ Σοφοκλῆς, χρησμολόγον αὐτόν φησι. φέρεται δὲ καὶ ἐπιτάφιον οὕτως ἔχον. Εὐμόλπου φίλον υἱὸν ἔχει τὸ φαληρικὸν οὖδας. Μουσαῖον, φθίμενον σῶμ', ὑπὸ τῷδε τάφῳ. ἐνταῦθα δὲ καὶ θεραπείας νοσημάτων καταδεῖξαι λέγεται. Ἡσίοδος δέ.] ὡς πρώτου Ἡσιόδου μέμνηται.

Γῆς